# ἐκ τοῦ πρώτου λόγου τῆς Ῥωμαϊκῆς ἀρχαιολογίας Διονυσίου τοῦ Ἁλικαρνασέος

## Πληθώνιον:

Ὅτι δὲ καὶ τὸ τῶν τρώων ἔθνος ἑλληνικὸν ἐν τοῖς μάλ-
λιστα ἦν, ἐκ πελοποννήσου ποτὲ ὡρμημένον, εἴρηται
μὲν καὶ ἄλλοις τισὶ πάλαι, λεχθήσεται δὲ καὶ πρὸς ἐμοῦ
δι' ὀλίγων. ἔχει δὲ ὁ λόγος περὶ αὐτῶν ὧδε. ἄτλας
γίνεται βασιλεὺς πρῶτος ἐν τῇ καλουμένῃ, νῦν ἀρ-
καδία. ᾤκει δὲ περὶ τὸ λεγόμενον, καυκάσιον
ὄρος. τούτω θυγατέρες ἦσαν ἑπτά. αἱ νῦν ἐν οὐρα-
νῷ κατεστερῆσθαι λεγόμεναι, πλειάδες ἐπίκλησιν.
ὧν μίαν μὲν τὴν ἠλέκτραν ζεὺς γαμεῖ, καὶ γεννᾷ
παῖδας ἐξ αὐτῆς, ἴασον καὶ δάρδανον. ἴασος μὲν οὖν
ἠίθεος μένει. δάρδανος δὲ ἄγεται γυναῖκα, χρυσοῦν
τὴν πάλλαντος θυγατέραν. ἐξ ἧς αὐτῷ γίνονται παῖ-
δες. ἰδαῖος καὶ δέρμας. οἱ τὸ τέως μὲν ἐν ἀρκαδία
παραλαβόντες τὴν ἄτλαντος δυναστείαν, ἐβασίλευον.
ἔπειτα κατακλυσμοῦ γενομένου μεγάλου περὶ τὴν
ἀρκαδίαν, τὰ μὲν πεδία ἐξελιμνώθη, καὶ πολλοῦ χρό-
νου γεωργεῖσθαι ἀδύνατα ἦν. οἱ δὲ ἄνθρωποι, ᾤκουν
γὰρ ἀνὰ τὰ ὄρη, γλίσχρως πορίζομενοι τὰς τροφάς.
συμφρονήσαντες, ὡς οὐχ' ἱκανὴ τὸ βόσκειν ἔσται πάν-
τας ἡ περιοῦσα γῆ, νέμονται σφᾶς αὐτοὺς δίχη, καὶ αὐ-
τῶν, οἱ μὲν ἐν ἀρκαδία. ὑπομένουσι, βασιλέα στησά-
μενοι δάμαντα, τὸν δαρδάνου. οἱ δὲ λοιποὶ ἀπανιστάντες

γρ. χρ 48